ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ καὶ δύο βάσεις τῷ στύλῳ τῷ
ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ. [20]καὶ τὸ κλίτος τὸ δεύτερον τὸ 20
πρὸς νότον εἴκοσι στύλους· [21]καὶ τεσσαράκοντα βάσεις αὐτῶν 21
ἀργυρᾶς, δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐ-
τοῦ καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐ-
τοῦ. [22]καὶ ἐκ τῶν ὀπίσω τῆς σκηνῆς κατὰ τὸ μέρος τὸ πρὸς θά- 22
λασσαν ποιήσεις ἓξ στύλους. [23]καὶ δύο στύλους ποιήσεις ἐπὶ τῶν 23
γωνιῶν τῆς σκηνῆς ἐκ τῶν ὀπισθίων, [24]καὶ ἔσται ἐξ ἴσου κάτω- 24
θεν· κατὰ τὸ αὐτὸ ἔσονται ἴσοι ἐκ τῶν κεφαλίδων εἰς σύμβλησιν
μίαν· οὕτως ποιήσεις ἀμφοτέραις, ταῖς δυσὶν γωνίαις ἔστωσαν.
[25]καὶ ἔσονται ὀκτὼ στῦλοι, καὶ αἱ βάσεις αὐτῶν ἀργυραῖ δέκα ἕξ· 25
δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ καὶ δύο
βάσεις τῷ στύλῳ τῷ ἑνί. — [26]καὶ ποιήσεις μοχλοὺς ἐκ ξύλων 26
ἀσήπτων πέντε τῷ ἑνὶ στύλῳ ἐκ τοῦ ἑνὸς μέρους τῆς σκηνῆς
[27]καὶ πέντε μοχλοὺς τῷ στύλῳ τῷ κλίτει τῆς σκηνῆς τῷ δευτέ- 27
ρῳ καὶ πέντε μοχλοὺς τῷ στύλῳ τῷ ὀπισθίῳ τῷ κλίτει τῆς σκη-
νῆς τῷ πρὸς θάλασσαν· [28]καὶ ὁ μοχλὸς ὁ μέσος ἀνὰ μέσον τῶν 28
στύλων διικνείσθω ἀπὸ τοῦ ἑνὸς κλίτους εἰς τὸ ἕτερον κλίτος.
[29]καὶ τοὺς στύλους καταχρυσώσεις χρυσίῳ καὶ τοὺς δακτυλίους 29
ποιήσεις χρυσοῦς, εἰς οὓς εἰσάξεις τοὺς μοχλούς, καὶ καταχρυσώ-
σεις τοὺς μοχλοὺς χρυσίῳ. [30]καὶ ἀναστήσεις τὴν σκηνὴν κατὰ τὸ 30
εἶδος τὸ δεδειγμένον σοι ἐν τῷ ὄρει. — [31]καὶ ποιήσεις καταπέτα- 31
σμα ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου καὶ βύσ-
σου νενησμένης· ἔργον ὑφαντὸν ποιήσεις αὐτὸ χερουβιμ. [32]καὶ 32
ἐπιθήσεις αὐτὸ ἐπὶ τεσσάρων στύλων ἀσήπτων κεχρυσωμένων
χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσ-
σαρες ἀργυραῖ. [33]καὶ θήσεις τὸ καταπέτασμα ἐπὶ τοὺς στύλους 33
καὶ εἰσοίσεις ἐκεῖ ἐσώτερον τοῦ καταπετάσματος τὴν κιβωτὸν τοῦ
μαρτυρίου· καὶ διοριεῖ τὸ καταπέτασμα ὑμῖν ἀνὰ μέσον τοῦ ἁγίου
καὶ ἀνὰ μέσον τοῦ ἁγίου τῶν ἁγίων. [34]καὶ κατακαλύψεις τῷ κατα- 34
πετάσματι τὴν κιβωτὸν τοῦ μαρτυρίου ἐν τῷ ἁγίῳ τῶν ἁγίων.
[35]καὶ θήσεις τὴν τράπεζαν ἔξωθεν τοῦ καταπετάσματος καὶ τὴν 35
λυχνίαν ἀπέναντι τῆς τραπέζης ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς
νότον καὶ τὴν τράπεζαν θήσεις ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς
βορρᾶν. [36]καὶ ποιήσεις ἐπίσπαστρον ἐξ ὑακίνθου καὶ πορφύρας 36
καὶ κοκκίνου κεκλωσμένου καὶ βύσσου κεκλωσμένης, ἔργον ποικιλ-

19 αυτου $1^0 \frown 2^0$ B*A || 20 το προς ν. / εικ. στ.] tr. A† || 21 αυτων] -τοις A | αυτου $1^0 \frown 2^0$ B || 24 εσται] εσονται A | κατα] pr. και A | κεφαλων B | συμβολην A† | εστωσαν] pr. ισαι A || 25 αι > A | στυλω τω ενι $1^0$] ενι στ. B† | εις — αυτου / και ult. — fin.] tr. A || 27 τω $2^0$] + ενι B | τω paenult. > A || 31 υφαντου B^c: cf. 28 6 37 3 || 33 των στυλων B*† | διοριεις B* || 35 θησεις ult.] pr. επι B*† || 36 επισπαστρον] + τη θυρα της σκηνης B^c O(sub ※)†